Badische Landesbibliothek Karlsruhe

Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe

# Aesopus Graecus Scriptus - Cod. Karlsruhe 507

Pirckheimer, Willibald

[S.l.], 1501; 1512

[vita Aesopi; ohne Anfang und Schluss]

urn:nbn:de:bsz:31-310706

Visual Library

ὁ τὸν κατ' αὐτὸν βίον φιλοσόφου παϊ-
τάσς εἰκόνα προθέμενος, καὶ ἔργοις
μᾶλλον ἢ λόγοις φιλοσοφήσας, τὸ
μὲν γένος ἐξ ἀμορίου τῆς φρυγίας
κατῆγε τῆς μεγάλης ἐπίκλησιν· τῇ
δὲ τύχῃ γέγονε δοῦλος· ἐμοὶ καὶ σφό-
δρα μοι δοκεῖ τὸ, τοῦ πλάτωνος ἐν γορ-
γίᾳ καλῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι
ὡς τὰ πολλὰ γὰρ ταῦτα φησὶν ἐναντία
ἀλλήλοις ἐστὶν, ἥ τε φύσις ἐλευθερίᾳ
ἀπέδωκεν· ὁ δὲ παρ' ἀνθρώπων νόμος
τὸ σῶμα πρὸς δουλείαν ἀπέδοτο·
ἴσχυσε μέντοι οὐχ οὕτω τὴν τῆς ψυχῆς
ἐλευθερίαν λυμήνασθαι· ἀλλὰ καίτοι
πρὸς πολλὰ καὶ πολλαχόσε μεταφόρων

τὸ στόμα, τῆς οἰκίας ἐκφύνην ἔδεισε

οὐχ οἷος τ' ἐγένετο μεταφῆσαι· ἐτύγχανε

δ' ὢν οὐ μόνον δοῦλος, ἀλλὰ καὶ δυσει-

δέστατα τῶν ἐπ' αὐτοῦ πάντων ἀνθρώπων

ἔσχε· καὶ γὰρ φοξὸς ἦν· σιμὸς τὴν ῥῖνα

σιμὸς τὸν τράχηλον πρόχειλος· μέλας

ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε· ταυτὸν

γὰρ αἴσωπος τῷ αἰθίοπι· προγάστωρ· βλαι-

σός· καὶ κυρτός· τάχα καὶ τὸν ὁμη-

ρικὸν θερσίτην τῇ αἰσχρότητι τοῦ εἴδους

ὑπερβαλλόμενος τὸ δὲ δὴ πάντων ἐν

αὐτῷ χείριστον ἦν τὸ βραδύγλωσσον,

καὶ τὸ τῆς φωνῆς ἄσημόν τε καὶ ἀδι-

άρθρωτον ἃ πάντα καὶ δοκεῖ τὴν

δουλείαν αἰσώπῳ παρασκευάσαι

καὶ γὰρ δὴ καὶ θαῦμα ἂν ἦν, εἰ οὕτως
ἀτόπως ἔχοντι τοῦ σώματος, ἐξεγένετο
τὰς τῶν δουλούντων ἄρκυς διαφυγεῖν
ἀλλὰ τὸ μὲν σῶμα τοιοῦτον ἦν τῷ
ἀνδρί· τὴν δὲ ψυχὴν ἀγχινούστατος
ἐπεφύκει, καὶ πρὸς ἐπίνοιαν πᾶσαν
ἐπηβολώτατος· ὁ κεκτημένος τοίνυν
αὐτὸν ἅτε πρὸς οὐδὲν οἰκίας ἔργον
οἰκείως ἔχοντα, σκάπτειν εἰς ἀγρὸν ἐξ-
απέστειλεν ὁ δ᾽ ἀπελθὼν, προθύμως
τοῦ ἔργου εἴχετο· ἀφικομένῳ δέ ποτε
καὶ τῷ δεσπότῃ πρὸς τὸν ἀγρὸν, ἐφ᾽ ᾧ
τῶν ἔργων ἐπίσκοπην θέασθαι, γεωργός
τις σῦκα τῶν ἀγαθῶν δρεψάμενος,
δῶρον ἤνεγκεν ὁ δ᾽ ἐπὶ τῷ τῆς ὀπώρας

maturas agathopodi domestico
ἠκεῖθεν ὡραῖα, ἀγαθόποδι τῷ οἰκέτῃ,
hoc enim nomen puero custodire
τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί, φυλάττειν
iussit ut ipsa post balneum
ἐκέλευσεν, ὡς αὐτὰ μετὰ τὸ λουτρὸν
adhortaretur contigit autem et
παραθεῖναι. συμβὰν δ' οὖν τῷ, καὶ τοῦ
esopi ob aliqua necessitatem ingredi
αἰσώπου κατά δή τινα χρείαν εἰσελθόν-
tem in domum
τος, βουλὴν τοιάνδε εἰς τὴν οἰκίαν,
occasionem agathopus accipiens
ἀφορμῆς ὁ ἀγαθόπους λαβόμενος,
consilium tale conservorum alicui
βουλὴν τοιάνδε τῶν συνδούλων τινὶ
obiicit saciemur si videtur
προτείνει· ἐμφορηθῶμεν εἰ δοκεῖ τῶν
ficuum o ille dominus noster
σύκων ὦ οὗτος· κἂν ὁ δεσπότης ἡμῶν
hec quesierit sed nos
ταῦτα ζητήσῃ, ἀλλ' ἡμεῖς τοῦ αἰσώπου
reprehendemus ambo ut in
καταμαρτυρήσομεν ἄμφω, ὡς εἰς τὴν
domum intrantem et fortuitu
οἰκίαν εἰσελθόντος καὶ ἀδείας τυχόν-
et ficus clam comedentis
τος καὶ τὰ σῦκα λάθρα κατεσθίοντος.
et fundamento ad
καὶ ἐπ' ἀληθεῖ θεμελίῳ τῇ πρὸς τὸν

οἴκου ἔξοδον, πολλὰ τῶν ψευδῶν
ἐποικοδομήσομεν καὶ τὸ μηδὲν ἔσται
ὅγε εἷς πρὸς τοὺς δύο, καὶ ταῦτα μὴ
λαλοῦν ἐλέγχων διὰ παραίτησε τὴν γλῶ-
τταν δύναμιν ἔχον. δόξαντος δὴ τούτου
πρὸς τοὔργον ἐχώρησαν. καὶ τῶν σύκων
ἐσθίοντες, ἔλεγον ἐφ᾽ ἑκάστῳ σὺν γέ-
λωτι φεῦ σοι δύστηνε αἴσωπε. ὁ
γοῦν δεσπότης ἐπανελθὼν ἀπὸ
τοῦ λουτροῦ, καὶ τὰ σῦκα ζητήσας
καὶ ἀκούσας ὡς αἴσωπος αὐτὰ κατε-
δήδοκε, τόν τε αἴσωπον σὺν ὀργῇ κελεύει
κληθῆναι. καὶ κληθέντι φησί. λέγε
μοι κατάρατε, οὕτω μου κατεφρό-
νησας, ὡς εἰς τὸ ταμεῖον εἰσελθεῖν,

καὶ τὰ ἑτοιμασθέντα μοι σῦκα θοινή-
σασθαι, οὐδὲ, ἀκούων μὲν καὶ συνιεὶς
ἦν· λαλεῖν δὲ εἶχεν· οὐδοποσοῦν διὰ
τὸ βραδύγλωσσον· μέλλων δὲ ἤδη
τύπτεσθαι τῶν κατηγόρων σφοδροτέρων
ἐπικειμένων, πεσὼν πρὸς τοὺς τοῦ
δεσπότου πόδας, ἀνασχέσθαι μικρὸν
ἐδεῖτο. δραμὼν δὲ καὶ χλιαρὸν
ὕδωρ προσενεγκὼν, τοῦτο τε πέπωκε
καὶ τοὺς δακτύλους εἰς τὸ στόμα
καθεὶς, αὖθις τὸ ὑγρὸν μόνον ἀνέβ-
αλεν· οὔπω γὰρ τροφῆς ἀψάμενος
ἔτυχεν· ἠντιβόλει γοῦν αὐτὸ, τοῦτο
καὶ τοὺς διώκοντας δρᾶσαι, ὡς ἂν
δῆλον γένηται, τίς ὁ τὰ σῦκα διαφορήσας

ὁ δὲ δεσπότης τὸ νόημα αὐτοῦ θαυμάσας
οὕτω πιεῖν καὶ τοὺς ἄλλους ἐπέταξεν. οἱ δ' ἐβου-
λούσαντο πιεῖν μὲν τοῦ ὕδατος, μὴ μέντοι
καθεῖναι κατὰ τοῦ λαιμοῦ τοὺς δακτύλους,
ἀλλ' ἐπὶ τὰ πλάγια τῶν γνάθων αὐτοὺς παρα-
φέρειν· οὐκ ἔφθασαν δὲ πιόντες· καὶ
τὸ χλιαρὸν ὕδωρ ἐκεῖνο ναυτίαν τοῖς
πεπωκόσι παραχρῆμα ἐπενεγκὸν
αὐτομάτην παρέσχε τὴν ὀπώραν ἀνακα-
θῆραι τότε τούτου πρὸ ὀφθαλμῶν
πεσόντος, τοῦ τε κακουργήματος τῶν
οἰκετῶν καὶ συκοφαντίας, ὁ μὲν δε-
σπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας
μαστίζεσθαι· οἱ δ' ἐπέγνωσαν σαφῶς
κατὰ τὸν εἰπόντα, ὡς ὅστις καθ' ἑτέρου

*dolos machinatur ipsi accidit*
Δολία μηχανᾶται, αὐτῷ ἔλαθε

*malum architectato ... postera die*
τὸ κακὸν ἀρχιτεκτονοῦν τῇ ἐπιούσῃ

*domino in urbem redeunte*
τοῦ μὲν δεσπότου εἰς ἄστυ ἐπαναζεύξαντος,

*esope fodiente*
τοῦ δ' Αἰσώπου σκάπτοντος ἡ πρόσε-

*sacerdos diane vel alij*
τάχθη, ἱερεὺς τῆς Ἀρτέμιδος ἢ ἄλλοι

*etiam homines via aberrantes*
τινὲς ἄνθρωποι τῆς ὁδοῦ πλανηθέν-

*et esopo obviantes*
τες, καὶ τῷ Αἰσώπῳ περιτυχόντες,

*interrogantes per Jovis hospitalis*
προὐτρέποντο πρὸς Διὸς ξενίου τὸν

*virum in urbem ferentem ipsis*
ἄνδρα, τὴν εἰς ἄστυ φέρουσαν αὐ-

*sibi monstrare hic autem sub umbra arboris*
τοῖς ὑποδεῖξαι· ὁ δ' ὑπὸ σκιὰν δένδρου

*viros abducens primum et*
τοὺς ἄνδρας ἀπαγὼν πρότερον, καὶ

*frugale apponens cenam postea*
λιτὸν παραθέμενος δεῖπνον, εἶτα

*ducens ipsis in*
καὶ ἡγησάμενος αὐτοῖς, εἰς ἣν

*quesitam viam introducens hi*
ἐζήτουν ὁδὸν συνήνεγκεν· οἱ μὲν

*hoc hospitalitate hoc*
οὖν τοῦτο μὲν ἐπὶ τῇ ξενίᾳ, τοῦτο

δὲ καὶ ἐπὶ τῇ ὁδηγίᾳ ἀδιαφόρως τοῦ
ἀνδρὸς ἐξαρτηθέντες, τάς τε χεῖρας εἰς
οὐρανὸν ἦραν, καὶ εὐχῇ τὸν εὐεργέτην
ἠμείψαντο. αἴσωπος δ' ἀναστρέψας, καὶ
εἰς ὕπνον καταπεσὼν ὑπό τε τοῦ συνεχοῦς
πόνου καὶ καύματος, ἔδοξεν ἰδεῖν τὴν
τύχην ἐπιστᾶσαν αὐτῷ, καὶ λύσιν
τῆς γλώττης καὶ λόγου δρόμον καὶ σοφίαν
τὴν τῶν μύθων χαριζομένην· αὐτίκα οὖν
διυπνισθείς, φησί, βαβαὶ πῶς ἡδέως
κεκοίμημαι· ἀλλὰ καὶ καλὸν ὄνειρον
ἰδεῖν ἔδοξα· καὶ ἰδοὺ ἀκωλύτως λαλῶ
βοῦς· ὄνος· δίκελλα· νὴ τοὺς θεοὺς συνῆ-
κα πόθεν μοι τἀγαθὸν προσεγένετο τοῦτο
εὐσεβήσας γὰρ εἰς τοὺς ξένους, ἀντιλαμβανομένου

τοῦ κρείττονος ἔτυχον· ἆρ' οὖν τὸ εὐποιεῖν
ἀγαθῶν ἐστι πλῆρες ἐλπίδων· οὕτω μὲν
οὖν Αἴσωπος ὑπηρετήσας τῷ πράγματι, πάλιν
ἤρξατο σκάπτειν. τοῦ δ' ἐφεστηκότος τῷ
ἀγρῷ, Ζηνᾶς ἦν αὐτῷ τοὔνομα, πρὸς τοὺς
ἐργαζομένους ἐλθόντος, καὶ τούτων
ἕνα, ἐπειδὴ μικρὸν ἐσφάλη τοῦ ἔργου,
τῇ ῥάβδῳ πατάξαντος, Αἴσωπος παραχρῆμα
ἀνέκραγεν· ἄνθρωπε, τὸν χάριν τὸν
μηδὲν ἠδικηκότα οὕτως αἰκίζῃ. καὶ
πᾶσιν ἀεὶ πληγὰς ἐμφορεῖς δι' ἡμέρας·
πάντως ἀπαγγελῶ ταῦτα τῷ κεκτημένῳ.
Ζηνᾶς δὲ ταῦτα τοῦ Αἰσώπου ἀκούσας
ἐξεπλάγη τε οὐ μέσως. καὶ πρὸς ἑαυτὸν
ἔφη· Αἴσωπος λαλεῖν ἀρξάμενος

οὐδὲν ἐμοὶ ὄφελος ἔσται· φθάσας
τοίνυν αὐτὸς κατηγορήσω αὐτοῦ ἐπὶ
τοῦ δεσπότου, πρὶν αὐτὸς τοῦτ' αὐτὸ
δράσῃ, καί με ὁ δεσπότης τῆς ἐπιτροπῆς
παραλύσῃ· ταῦτ' εἰπὼν, ἐκ τῆς πόλεως
πρὸς τὸν δεσπότην ἤλαυνε· καὶ δὴ
σὺν θορύβῳ προσελθὼν, χαῖρε φησὶ
δέσποτα· ὁ δέ, τί τεθορυβημένος πάρει
φησί· καὶ ὁ Ζηνᾶς, χρῆμά τι τερατῶδες
ἐν τῷ ἀγρῷ συνέβη· καὶ ὁ δεσπότης,
ἦ πού τι δένδρον παρὰ καιρὸν καρπὸν
ἤνεγκεν, ἢ τῶν κτηνῶν τι παρὰ φύσιν
ἐγέννησε· καὶ ὅς, οὐχ οὕτως· ἀλλ' Αἴσωπος
ἄναυδος τὸ πρότερον ὤν, νῦν λαλεῖν
ἤρξατο· καὶ ὁ δεσπότης, οὕτω σοι

bonorum fiat hoc putanti
μηδὲν τῶν ἀγαθῶν γένοιτο τοῦτο νομίζοντι
interim esse ille et valde inquit que quidem
τέως εἶναι. ὁ δέ, καὶ μάλα φησίν. ἃ μὲν
enim in me contumeliatur libens omitto domine
γὰρ εἰς ἐμὲ ἐξύβρισεν, ἑκὼν παρίημι δέσποτα
in autem te et deos non tollerabilia blasphemat
εἰς δὲ σὲ καὶ θεοὺς οὐ φορητὰ βλασφημεῖ
super hoc ira captus dominus
ἐπὶ τούτοις ὀργῇ ληφθεὶς ὁ δεσπότης, τῷ
zene dixit ecce tibi traditur esopus
ζηνᾷ φησὶν ἰδού σοι παραδέδοται αἴσωπος
vende dona quod vis de ipso fac
ἀπόδου δώρησαι ὃ βούλει ἐπ' αὐτῷ ποίησον
zena autem ipso incumbente suscipientis
τοῦ δὲ ζηνᾶ ἐπ' αὐτῷ γενομένου παραλαβόντος
esopum et super ipsum dominium
τὸν αἴσωπον, καὶ τὴν κατ' αὐτοῦ δεσποτείαν
ipsi annunciantis ille quod
αὐτῷ ἀναγγείλαντος, ἐκεῖνος ὅτι δήποτε
volenti tibi est dixit fac ob
βουλομένῳ σοι ἐστὶ φησὶν ἐργάσασθαι. κατὰ
autem quandam fortuna emptor quidam jumenta
δὲ δή τινα τύχην ἀγοραστής τινος κτήνη
querentis emere et propter hoc
ζητοῦντος πρίασθαι. καὶ διὰ ταῦτα τὸν
agrum transeuntis illum et zenam
ἀγρὸν διιόντος ἐκεῖνον, καὶ τὸν ζηνᾶν
interrogantis ille pecus quidem non est mihi
ἐρομένου, ἐκεῖνος θρέμμα μὲν οὐκ ἔστι μοι

φησὶν ἀποδόσθαι σωμάτιον δὲ ἄρρεν
ὅπερ ἐθέλεις ὠνήσασθαι, πάρεστι. τοῦ δὲ
ἐμπόρου φήσαντος ὑποδεχθῆναι αὐτῷ
τὸ σωμάτιον, καὶ τοῦ ζηνὸς τὸν αἴσωπον
μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν αὐτὸν
καὶ ἀνακαγχάσας, πόθεν σοι φησὶ πρὸς
τὸν ζηνᾶν ἧδε ἡ χύτρα. πότερον στέλεχός
ἐστι δένδρου, ἢ ἄνθρωπος. οὗτος εἰ μὴ
φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐχὶ δοκεῖν
ἀσκοκήλη. ἵνα τί μοι τὴν πορείαν διέκο-
ψας τουτουὶ τοῦ καθάρματος ἕνεκεν
ταῦτ' εἰπὼν, ἀπῄει τὴν ἑαυτοῦ ὁδόν. ὁ δ' αἰ-
σωπος μεταδιώξας αὐτὸν, μεῖνον φησίν
ὁ δὲ, μεταστραφεὶς, ἄπιθι φησὶν ἀπ' ἐμοῦ
ῥυπαρώτατε κύων. καὶ ὁ αἴσωπος, εἰπέ μοι

Τίνος ἕνεκεν δεῦρο ἐλήλυθας· καὶ
ὁ ἔμπορος· κάθαρμα, ἵνα τί χρηστὸν πείσωμαι
σοῦ δὲ ἀχρήστου καὶ σαπροῦ ὄντος,
οὐ χρήζω· καὶ ὁ αἴσωπος ὠνήσαί με
καὶ εἴ τις ἐστὶ πίστις, πολλά σε ὠφελήσαι
οἴομαι· καὶ ὅς· τί δ᾽ ἄν σου ὀναί-
μην, στυγήματος ὄντος αὐτόχρημα· καὶ
ὁ αἴσωπος, οὐ παρεισὶ παιδία οἴκοι
ἀτακτοῦντα καὶ κλαίοντα, τούτοις
ἐπιστήσον με παιδαγωγὸν καὶ πάντως
αὐτοῖς ἀντὶ μορμοῦς ἔσομαι· γελάσας
οὖν ἐπὶ τούτῳ ὁ ἔμπορος, φησὶ
τῷ ζηνᾷ· πόσου τὸ κακὸν τοῦτο πωλεῖς
ἀπόδου· ὁ δὲ, τριῶν φησὶν ὀβολῶν· ὁ
δ᾽ ἔμπορος αὐτίκα τοὺς τρεῖς ὀβολοὺς

solvit dicens nihil
κατεβάλλετο, λέγων οὐδὲν κατεθέμην,
et nullum emerat iter facientibus ergo
καὶ οὐδὲν ἐπριάμην. ὁδευσάντων τοιγαροῦν
et aplicantibus ipsis ad domum pueruli
καὶ ἀφικομένων αὐτῶν οἴκαδε, παιδάρια
duo sub matre ysopum
δύο ἔτι ὑπὸ μητρὶ τελοῦντα, τὸν αἴσωπον
videntes et confusi clamaverunt et
ἰδόντα καὶ συγχυθέντα, ἀνέκραξε. καὶ
ysopus statim mercatori dicit
ὁ αἴσωπος εὐθὺς τῷ ἐμπόρῳ φησίν
habes mei promissionis demonstrationem
ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν
at hic videns introeuntem dixit
ὁ δὲ, γελάσας, εἰσελθόντα ~~καὶ~~ φησὶν
saluta conservos tuos illum
ἀσπάσαι τοὺς συνδούλους σου. τὸν
autem introeuntem et salutantem videntes
δὲ, εἰσελθόντα καὶ ἀσπασάμενον ἰδόντες
illi quid mali hoc nostro
ἐκεῖνοι, τί ποτε ἄρα κακὸν τῷ ἡμῶν
domino dicebant accidit quod
δεσπότῃ φασὶ συμβέβηκεν, ὅτι
corpus turpe hoc emit sed ut
σωμάτιον αἰσχρὸν οὕτως ἐπρίατο ἀλλ' ὡς
videtur pro invidia hoc
ἔοικεν, ἀντὶ βασκανίου τοῦτο τῆς
domus emit post autem non multum et
οἰκίας ὠνήσατο. μετὰ δ' οὐ πολὺ καὶ ὁ

ἔμπορος ἐσελθὼν, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι
τοῖς δούλοις ἐπέσκηψε. μέλλειν γὰρ
τὴν ἐπιοῦσαν ἐς ἀσίαν πορεύεσθαι. οἱ
μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο
ὁ δ᾽ αἴσωπος ἐδέετο τοῦ κουφοτάτου
τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ
νεώνητος καὶ ἧττον πρὸς τὰς τοιαύτας
ὑπουργίας γεγυμνασμένος. τῶν δὲ, καὶ
ἐὰν μηδὲν ἄρα βούληται συγγνώμην παρε-
χομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε πάντων
κοπιώντων αὐτὸν μόνον ἀσυντελῆ τυγ-
χάνειν. τῶν δὲ, ὅπερ ἂν ἆραι βούληται
ἐπιτρεπόντων, δεῦρο κἀκεῖσε περιβλε-
ψάμενος, καὶ σκεύη ἀθροίσας διάφορα
σάκκους καὶ στρώματα καὶ γυργάθους,

ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν
δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιτεθῆναι
κελεύει· οἱ δὲ γελάσαντες, καὶ μηδὲν
εἶναι μωρότερον τοῦ χυδαίου τούτου
καθάρματες φάμενοι, ὃς μικρῷ μὲν
ἔμπροσθεν τὸ κουφότατον ἐδέητο ἆραι
τῶν φορτίων, νῦν δὲ τὸ πάντων βαρύτατον
εἵλετο, χρῆναι μέντοι τὴν ἐπιθυμίαν
αὐτοῦ πληρῶσαι, ὑπολαβόντες τὸν
γύργαθον ἐπιτεθέασι τῷ αἰσώπῳ· ὁ δὲ,
κατὰ τῶν ὤμων τὸ φορτίον ἀπηχθι-
σμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο·
τὸν δὲ ἰδὼν ὁ ἔμπορος, ἀπεθαύμασεν·
καὶ φησίν· αἴσωπος ἐς τὸν πόνον πρόθυμος
ὢν, ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε· κτήνους

τοῦ φορτίου ᾑρεῖτο· ἐπεὶ δὲ ὥρας οὔσης
ἀρίστου κατέλυσαν, αἴσωπος κελευσθεὶς
ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν γύργαθον πολλῶν
φαγόντων ἐποίησεν· ὅθεν καὶ μετὰ τὸ
ἄριστον κουφοτέρου τοῦ φορτίου γεγο-
νότος, προθυμότερον ᾔδει· καὶ δὴ καὶ
ἑσπέρας οὗ κατήχθησαν πάλιν ἀρτο-
δοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντά-
πασιν ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον,
πρῶτος ἀπῄει, ὥστε καὶ τοῖς συνδο-
ύλοις προέχοντα τοῦτον ὁρῶσιν ἀμφί-
βολα γίνεσθαι, πότερον ὁ σαπρός ἐστιν
αἴσωπος ἤ τις ἕτερος· καὶ καταμανθάνου-
σιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως τὸ με-
μελανωμένον ἀνθρωπῖον νουνεχέστερα

πάντων ἐπέταξε τοὺς ῥᾳδίως δαπανωμένους
ἄρτους ἀράμενον, ἐκείνων τὰ χρώματα καὶ
τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων,
ἃ μὴ φύσιν ἔλαχεν οὑτωσὶ δαπανᾶσθαι.
ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ Ἐφέσῳ γενό-
μενος τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν
κέρδει ἀπέδοτο. ὑπελείφθη δὲ αὐτῷ τρία·
γραμματικός· ψάλτης· καὶ ὁ αἴσωπος. τῶν
δέ τινος αὐτῷ συνήθων συμβουλεύσαντος ἐς
Σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι
κέρδει ἀπεμπολήσοντι τὰ σωμάτια,
πείθεται. καὶ ὁ ἔμπορος ἐπιβὰς τῆς Σάμου,
τὸν μὲν γραμματικὸν σὺν τῷ ψάλτῃ
καινὰς στολὰς ἀμφιέσας ἵστησιν ἄμφω
ἐπὶ τοῦ πρατηρίου. τὸν δ᾽ αἴσωπον, ἐπεὶ

μηδαμόθεν εἶχε κοσμῆσαι, ὅλος γὰρ ἦν
ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ περι-
καθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς
καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας πό-
θεν τοῦτο τὸ βδέλυγμα τὸ καὶ τοὺς
ἄλλους ἀφανίζον. Αἴσωπος δὲ, καὶ περὶ τῶν
πολλῶν σκωπτόμενος, ἵστατο μέν τοι
τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. Ξάνθος
δὲ ὁ φιλόσοφος εἷς τῶν ἐνοικούντων
ὢν τηνικαῦτα τῇ Σάμῳ, περιελθὼν ἐπὶ
τὴν ἀγορὰν καὶ θεασάμενος τοὺς μὲν
δύο παῖδας σφόδρα εὐπρεπεῖς παριζομένους
μέσον δὲ τούτων τὸν Αἴσωπον, ἠγάσατο
τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, ὅπως τὸν αἰσ-
χρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παρα-

θέσει τοῦ δυσειδοῦς καλλίους ἑαυτῶν
τοὺς νεανίας φανῆναι· ἐπιτρίτῳ δ' ἐπιστάς,
ἐπύθετο τοῦ ψάλτου, πόθεν ἂν εἴη· καὶ
ὃς, καππαδόκης καὶ ὁ ξάνθος τί οὖν οἶδας
ποιεῖν· ὁ δὲ, πάντα· καὶ ἐπὶ τούτοις αἰσώ-
πος ἐξεγέλασε· τῶν δὲ σχολαστικῶν, οἳ τῷ
ξάνθῳ συνῆσαν ὡς εἶδον αὐτὸν γελάσαντα
καὶ παραφθείραντα τοὺς ὀδόντας ἐξαί-
φνης, καί τι τέρας ὁρᾶν δοξάντων, καὶ
τοῦ μὲν, ἦπου κήλη ἐστὶν ὀδόντας ἔχουσα
λέγοντος, τοῦ δὲ, τί ποτε ἄρα ἰδὼν ἐγέλασε,
τοῦ δ' ὡς οὐκ ἐγέλασεν ἀλλ' ἐρρίγωσε,
πάντων δὲ βουλομένων γνῶναι τίς
ποτε ἦν ὁ γέλως, εἷς τις ἀδεῶς προσελθὼν
τῷ αἰσώπῳ φησίν ὅτου χάριν ἐγέλασας

et hic secede, thalassium porcus ille

καὶ ὡς ἀποχωρεῖ θαλάττιον περίβολον τοῦ

aut stupefacto, totis super

δὲ, ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ

sermone statim secessit,

λόγῳ κἀκείνου εὐθέως ἀναχωρήσαντος,

xanthus mercatori dicit quanti pretii

ὁ ξάνθος τῷ ἐμπόρῳ φησὶ, πόσου τίμημα-

psaltor ille aut mille nummorum

τος ὁ ψάλτης. τοῦ δὲ, χιλίων ὀβολῶν

respondente, ad alium venit

ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν,

superante audiens pretium et

ὑπερβάλλον ἀκούσας τὸ τίμημα. καὶ

hunc interrogante philoso-

ἤμελλέ τι καὶ τοῦτον ἐρομένου τοῦ φιλοσό-

pho unde esset et audiens quod

φου πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι

lydus et interrogante quid scis

λυδὸς, καὶ ἐπανερομένου τί οἶδας

facere et illo dicente omnia rursus

ποιεῖν, κἀκείνου φαμένου πάντα, πάλιν

risit esopus scolasticorum

ἐγέλασεν αἴσωπος τῶν σχολαστικῶν

et aliquo dicente quid hoc non

δέ τινος ἀπερομένου, τί δήποτε οὐχὶ

ad omnes ridet, sed ad ipsum

πρὸς πάντας γελᾷ, ἔφησε πρὸς αὐτὸν

dixit si vis et tu thalassium hircum

εἶπεν. εἰ βούλει καὶ σὺ θαλάττιος τράγος

ἀκοῦσαι, ἐρωτήσατον. ὁ δὲ Ξάνθος καὶ
αὖθις ἤρετο τὸν ἔμπορον, πόσου τιμήματος
ὁ γραμματικὸς κἀκείνου τρισχιλίων ὀβολῶν
ἀποκριναμένου δυσφόρως ὁ φιλόσοφος
ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος· καὶ
στραφεὶς ἀπῄει. τῶν δὲ σχολαστικῶν ἐρο-
μένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμάτια,
ναὶ ἔφησεν· ἀλλὰ δόγμα κεῖται, μὴ ἀν-
δράποδον ὠνεῖσθαι τῶν πολυτίμων· ἑνὸς
δὲ τούτων φαμένου ἀλλ' εἰ ταῦθ' οὕτως
ἔχει, τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος
ἐμποδὼν ἔσται μὴ ὠνήσασθαι· τὴν
αὐτὴν γὰρ καὶ οὗτος λειτουργίαν ἀποδώσει
καὶ ἡμεῖς τὸ τίμημα τούτου καταθησό-
μεθα. Ξάνθος ἔφη· ἀλλὰ γελοῖον ἂν

ὑμᾶς ἐκτῖσαι τὸ τίμημα. ἐμὲ δὲ τὸν
δοῦλον ὠνήσασθαι ἄλλως τε καὶ τὸ γυ-
ναικεῖον μου καθάριον ὄν, οὐκ ἂν ἀνάσχοι
τὸ ὑπ' αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι
τῶν δὲ σχολαστικῶν αὖθις εἰπόντων ἀλη-
θὴς ἡ γνώμη, κατὰ τὸ μὴ πείθεσθαι
γυναικὶ, ὁ φιλόσοφος ἴσως λάβωμεν
πρότερον πεῖραν, ἢ οἶδε τί μήποτε καὶ
τὸ τίμημα μάτην ἀπαιτῆται. προσελθὼν
γοῦν τῷ αἰσώπῳ, χαῖρε φησί. καὶ
ὃς μὴ γὰρ ἐλυπούμην, καὶ ὁ ξάνθος,
ἀσπάζομαί σε. κἀκεῖνος, κἀγώ σε. καὶ
ὁ ξάνθος ἅμα τοῖς ἄλλοις ἐπὶ τῷ παρ-
αλόγῳ καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως
ἐκπλαγεὶς, ἤρετο, ποδαπὸς εἶ. ὁ δὲ,

μέλας φησί· καὶ ὁ ξάνθος, οὐ τοῦτο
φημί, ἀλλὰ πρᾶξιν γεγενῆσθαι καὶ ὅς,
ἐκ τῆς γαστρὸς τῆς μητρός μου, καὶ ὁ ξάν-
θος, οὐ τοῦτο λέγω ἀλλ᾽ ἐν ποίῳ τόπῳ
γεγενῆσθαι κἀκεῖνος, οὐκ ἀπήγγειλέ
μοι ἡ μήτηρ μου, πότερον ἐν ἀνωγέῳ
ἢ κατωγέῳ· καὶ ὁ φιλόσοφος, πῶς δὲ
φατὲ ἐπίστασθαι κἀκεῖνος οὐδὲν
καὶ ὁ ξάνθος, τίνα τρόπον· ὁ δὲ ἔφη-
δῆλον οὐχὶ πάντα ἐπίστασθαι ἐπηγγεί-
λατο, ἐμοὶ δὲ κατέλιπεν οὐδὲν καὶ
ἐπὶ τούτοις οἱ σχολαστικοὶ ὑπερφυῶς
ἀγάμενοι, νὴ τὴν θεῶν πρόνοιαν ἔφασαν,
πάνυ καλῶς ἀπεκρίνατο· οὐ δὲ γὰρ
εἷς ἐστὶν ἄνθρωπος ὃς ἂν πάντα εἴδῃ